# Παρακλητικός Κανών εις την Παναγία Χρυσαφίτισσα



Εὐλογήσαντος τοϋ ἱερέως ἀρχόμεθα ἀναγινώσκοντες τον ΡΜΒ’ (142) Ψαλμόν.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τήν δέησίν μου ἐν τή ἀληθεία σου, εἰσάκουσόν μου ἐν τή δικαιοσύνη σού καί μή εἰσέλθης εἰς κρίσιν μετά τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. ὅτι κατεδίωξεν ὁ ἐχθρός τήν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τήν ζωήν μου, ἐκάθισε μέ ἐν σκοτεινοῖς ὡς νεκρούς αἰῶνος καί ἠκηδίασεν ἔπ ἐμέ τό πνεῦμά μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πάσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. διεπέτασα πρός σέ τάς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρος σοί. Ταχύ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τό πνεῦμά μου μή ἀποστρέψης τό πρόσωπόν σου ἄπ ἐμοῦ, καί ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. ἀκουστόν ποίησον μοί τό πρωί τό ἔλεός σου, ὅτι ἐπί  σοῖ ἤλπισα γνώρισον μοί, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρός σέ ἦρα τήν ψυχήν μού ἐξελού μέ ἐκ τῶν ἐχθρῶν μου, Κύριε, ὅτι πρός σέ κατέφυγον. δίδαξον μέ τοῦ ποιεῖν τό θέλημά σου, ὅτι σύ εἶ ὁ Θεός μού τό πνεῦμά σου τό ἀγαθόν ὁδηγήσει μέ ἐν γῆ εὐθεία. Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις μέ, ἐν τή δικαιοσύνη σου ἐξάξεις ἐκ θλίψεως τήν ψυχήν μου καί ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου καί ἀπολεῖς πάντας τούς θλίβοντας τήν ψυχήν μου, ὅτι ἐγώ δοῦλός σου εἰμι.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτοῦς.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος γ'. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Εἶτα τὸ τροπάριον.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.
Τοὺς καταφεύγοντας τῇ σῇ εἰκόνι καὶ αἰτουμένοις τὴν σὴν ἐπιστασίαν, ὦ Μῆτερ, Χρυσαφίτισσα, τὴν ὑγείαν χάριζε, πλήρου πάσας αἰτήσεις, σώους διαφύλαττε τοῦ ὑμνεῖν τὴν σὴν χάριν, ὅτι ὑπάρχεις πᾶσιν χορηγὸς παντὸς καλοῦ, Θεοτόκε Πανάχραντε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.
Οὐ σιωπήσομέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι. Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμός.
Ἐλέησόν με, ὁ Θεός, κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τό ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καί ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω καί ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διά παντός. Σοί μόνῳ ἥμαρτον καί τό πονηρόν ἐνώπιόν Σου ἐποίησα, ὅπως ἄν δικαιωθῇς ἐν τοῖς λόγοις Σου καί νικήσῃς ἐν τῷ κρίνεσθαί Σε. Ἰδοὺ γάρ ἐν ἀνομίαις συνελήφθην καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γάρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καί τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ καί καθαρισθήσομαι, πλυνεῖς με καί ὑπέρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καί εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τό πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου καί πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαράν κτίσον ἐν ἐμοί ὁ Θεός καί πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου Σου καί τό Πνεῦμα Σου τό Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τήν ἀγαλλίασιν τοῦ σωτηρίου Σου καί πνεύματι

ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τάς ὁδούς Σου καί ἀσεβεῖς ἐπὶ σέ ἐπιστρέψουσιν. Ῥῦσαι με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεός τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσα μου τήν δικαιοσύνην Σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις καί τό στόμα μου ἀναγγελεῖ τήν αἴνεσίν Σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσίᾳ τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τήν Σιών καί οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καί ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τό θυσιαστήριόν Σου μόσχους.

καὶ ἀρχόμεθα τοῦ Κανόνος.

ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.
Ὑγείαν καὶ ῥῶσιν σωματικὴν καὶ νοῦ φωτισμόν τε καὶ βασάνων ἀπαλλαγήν, ἡμῖν τοῖς σοῖς δούλοις παράσχου, Χρυσαφίτισσα Μῆτερ Πανάχραντε.

Ἐλέους ἀνέδειξας τὴν πηγὴν καὶ τῆς σῆς φροντίδος τὴν εἰκόνα σου τοῖς πιστοῖς, τοῖς ἐπιζητοῦσιν ἀρωγήν σου, ὦ Χρυσαφίτισσα Μῆτερ Πανάχραντε.

Χαῖρε Πύλη Θεία, Μῆτερ σεμνή, δι᾽ ἧς ὁ Θεός μας ἐσαρκώθη ἐπὶ τῆς γῆς, δι᾽ οὗ ἐν παντὶ ζωοποιοῦνται πάντες πιστοί σου, Μῆτερ Πανάχραντε.

Τὸ ἔλεος δίδεις πᾶσιν πιστοῖς, ὦ συμπαθεστάτη καὶ χαρίζεις τὰς δωρεάς, καὶ σῴζεις ἡμᾶς παντὸς κινδύνου, ὦ Χρυσαφίτισσα Μῆτερ Πανάχραντε.

ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.
Ἐκ ποικίλων παγίδων τοῦ πονηροῦ δαίμονος, καὶ τῆς ψυχοφθόρου κακίας, ἡμᾶς ἀπάλλαξον, Μῆτερ Θεόνυμφε, ὦ Χρυσαφίτισσα Μῆτερ, τοὺς θερμῶς προστρέχοντας τῇ προστασίᾳ σου.

Τοὺς τὴν σὴν προστασίαν αἰτουμένους βοήθησον τῇ σῇ ἰσχυρᾷ βοηθείᾳ, Κόρῃ Πανύμνητε, πρὸς σὲ γὰρ σπεύδουσιν, ὦ Χρυσαφίτισσα Μῆτερ, τὸ σεπτόν σου ὄνομα ἐπικαλούμενοι.

Τοῦ Υἱοῦ σου ἡ χάρις τοῖς πιστοῖς σου παρέχεται, ἐκ τῆς σῆς Ἁγίας Εἰκόνος, Μῆτερ Πανάχραντε, βοηθοῦσα ἅπαντας καὶ ἀναψύχουσα πάντας, τοὺς πυρὶ τῶν θλίψεων κατακαιομένους.

Τὴν εἰρήνην παράσχου, Παρθένε Ἄχραντε, τῇ σῇ ἰσχυρᾷ βοηθείᾳ, πᾶσιν αἰτοῦσιν σε, ὦ Χρυσαφίτισσα καὶ ἐν εἰρήνῃ καὶ πίστει τὴν ζωὴν κυβέρνησον ἡμῶν

δεόμεθα.

Διάσωσον, Χρυσαφίτισσα Κόρη Θεογεννῆτορ, ἐκ παντοίων κινδύνων καὶ περιστάσεων, τοὺς καταφεύγοντας πίστει τῇ χάριτί σου.

Ἐπίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β΄. Πρεσβεία θερμή.
Πρεσβεία θερμὴ καὶ τεῖχος ἰσχυρότατον, ἐλέους πηγή, πιστῶν σου καταφύγιον, ἐκτενῶς βοῶμέν σοι· Θεοτόκε Δέσποινα πρόφθασον καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη ταχέως προστατεύουσα.

ᾨδὴ δ΄. Εἰσακήκοα, Κύριε.
Πιεζόμενοι θλίψεσιν πρὸς τὴν σὴν βοήθειαν καταφεύγομεν, καὶ λυτρούμεθα, Πανάχραντε, πάσης ἐπηρείας τοῦ ἀλάστορος.

Πειρασμῶν ἐλευθέρωσον, θλίψεων, κινδύνων καὶ περιστάσεων, πάντας, Μῆτερ Χρυσαφίτισσα, τοὺς τὰ μεγαλεῖά σου δοξάζοντας.

Νόσους καὶ φθορὰς ἀπομάκρυνον καὶ ὑγείαν πᾶσιν ἡμῖν χορήγησον, μητρικῇ σου ἀγαθότητι, τοὺς τὰ μεγαλεῖά σου δοξάζοντας.

Τὴν χαρὰν πᾶσιν δώριζε, καὶ τὴν Υἱοῦ σου χάριν Πανάχραντε, Θεοτόκε Χρυσαφίτισσα, τοὺς σὲ μεγαλύνοντας Θεόνυμφε.

ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.
Πάντες οἱ πιστοί, μεγαλύνουσί σε Κυρία ὡς προστάτιδα, καὶ ἐν πᾶσιν βοηθόν· σὺ γὰρ πάντας ἐλεεῖς, ὦ Χρυσαφίτισσα.

Θεῖον θησαυρόν, τὴν Εἰκόνα σου κατέχοντες, πάντες οἱ ἐν Μονεμβασίᾳ, σεμνή, δαψιλῶς τὰς δωρεὰς ἀπολαμβάνουσιν.

Τὴν σὴν ἑορτὴν καὶ μετάστασιν Πανάχραντε, ἑορτάζομεν καὶ χαίρομεν πιστοί, ἔχοντές σε τὴν θερμήν, ἡμῶν προστάτιδα.

Σκέπασον σεμνή, Χρυσαφίτισσα Μῆτερ ἡμῶν τοὺς πιστούς Σου, Λακωνίας τὰ παιδία, καὶ χορήγησον αὐτοῖς ἀφειδῶς προστασίαν.

ᾨδὴ στ΄. Τὴν δέησιν, ἐκχεῶ.

Μαστίγων καὶ κινδύνων ποικίλων καὶ δεινῶν φοβερῶν τε καὶ νόσων, Χρυσαφίτισσα Πάναγνε Κόρη, καὶ βασκανίας δεινῆς ἐλευθέρωσον τοὺς καταφεύγοντας πιστῶς πρὸς τὴν σὴν ταχυτάτην ἀντίληψιν.

Ἐν πίστει τῷ σῷ ναῷ προσιόντες, πανταχόθεν, Θεοτόκε τῆς Ἑλλάδος, ἀπὸ βαθέων ψυχῆς σοι βοῶμεν· ἀσθενειῶν καὶ ποικίλων κακώσεων ἐλεύθερον καὶ γαληνόν, ἡμῶν τήρει τὸν βίον δεόμεθα.

Χαράν, κόρη πιστοῖς σου παρέσχες καὶ ταχεῖαν τὴν λύσιν ζητημάτων, καὶ ἐν θλίψεσι παρηγορίαν καὶ ἐκ κινδύνων ταχεῖαν τὴν λύτρωσιν, σὺ Χρυσαφίτισσα, διὸ πᾶς πιστὸς σοι προσφεύγει καὶ σῴζεται.

Διάσωσον βασκανίας καὶ νόσου καὶ ποικίλων παγίδων τοῦ ἐχθροῦ μας καὶ χάριτός σου πλήρωσον πάντας, Χρυσαφίτισσα Μῆτερ Πανάχραντε· καὶ ζώωσον ἡμᾶς συμπαθῶς, τῇ τοῦ Υἱοῦ σου δυνάμει, ὦ Πάναγνε.

Διάσωσον, Χρυσαφίτισσα Πανύμνητε Κόρη, ἐκ ποικίλων κινδύνων καὶ περιστάσεων τοὺς καταφεύγοντας, πίστει τῇ χάριτί σου.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.
Ἦχος β´. Προστασία τῶν Χριστιανῶν.
Τῇ προστασίᾳ σου Κόρη προστρέχοντες, ἐλευθερούμεθα πάσης κακώσεως, διό σου τὴν χάριν κηρύττομεν, ὦ Χρυσαφίτισσα πίστει καλοῦντες σε· σὺ γὰρ ἡμῶν καταφύγιον.

Προκείμενον.
Μνησθήσομαι τοῦ ὀνόματός Σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.
Στίχ. Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν (α´ 39-49, 56).
Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριάμ, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς, εἰς πόλιν Ἰούδα· καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. Καὶ ἐγένετο, ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη Πνεύματος Ἁγίου ἡ Ἐλισάβετ, καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξὶ καὶ

εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου μου πρός με; Ἰδοὺ γάρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. Καὶ μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. Καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

Δόξα.
Πάτερ, Λόγε, Πνεῦμα, Τριὰς ἡ ἐν Μονάδι, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.
Ταῖς Χρυσαφιτίσσης, ταῖς θείαις ἱκεσίαις, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στ.: Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός…
Προσόμοιον.
Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Προστασίαν φοβεράν, καὶ βοήθειαν Κόρη, ἰσχυρὸν προπύργιον ἐν παντὶ τῶν βίῳ, ὦ Μῆτερ σε ἔχοντες· ἐκ κινδύνων, θλίψεων καὶ ὀλισθημάτων, καὶ παγίδων τοῦ ἐχθροῦ, καὶ πάσης, Δέσποινα, ἄλλης συμφορᾶς τε καὶ μάστιγος· ταχέως ἐκλυτρούμεθα, τῇ σῇ βοηθείᾳ Πανάχραντε. Ὅθεν μὴ ἐλλείπῃς παρέχειν τὰς ἰάσεις συμπαθῶς, τοῖς πρὸς τὴν σὴν ἀγαθότητα, Κόρη ἀτενίζουσιν.

Ἕτερα Θεοτοκία.
Οὐδεὶς προστρέχων ἐπὶ σοί, κατῃσχυμένος ἀπὸ σοῦ ἐκπορεύεται, ἁγνὴ Παρθένε Θεοτόκε· ἀλλ᾽ αἰτεῖται τὴν χάριν καὶ λαμβάνει τὸ δώρημα, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως.Μεταβολὴ τῶν θλιβομένων, ἀπαλλαγὴ τῶν ἀσθενούντων, ὑπάρχουσα, Θεοτόκε Παρθένε, σῶζε πόλιν καὶ λαόν, τῶν πολεμουμένων ἡ εἰρήνη, τῶν χειμαζομένων ἡ γαλήνη, ἡ μόνη προστασία τῶν πιστῶν.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου…

ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.
Χάριζε τὴν ὑγείαν τῶν ψυχῶν καὶ σωμάτων τε καὶ βοήθειαν, Μητέρα τοῦ Κυρίου, τῇ σῇ θερμῇ πρεσβείᾳ τοῖς πίστει ἀδιστάκτῳ προσιοῦσιν καὶ ψάλλουσιν·

ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Χρυσαφίτισσα Μῆτερ, ἡ Θεὸν σαρκωθέντα ἀσπόρως τέξασα, ταῖς θείαις σου πρεσβείαις περιφρουρεῖ Μονεμβασίας Κάστρον, ἵνα ὑμνοῦσί σε πιστοί, σῳθέντες χάριτί σου.

Ὡς ἐβοήθησας πάντας τοὺς πιστοὺς ἐν κινδύνοις ὢ Χρυσαφίτισσα, οὕτω καὶ νῦν κινδύνοις, παγίδας, ἀπειλάς τε, δίωξον, σύντριψον, ὢ Προστασία Φοβερά, Κυρία τῶν Ἀγγέλων.

Ὡς μετέβης τὸ πάλαι ἐκ χωρίου εἰς Κάστρον τῆς Μονεμβάσιας, νῦν πέταξον ταχέως ἐν ὥρᾳ τοῦ κινδύνου, ὢ Χρυσαφίτισσα, καὶ σῷζε πάντας πιστοὺς βοήθειαν αἰτοῦντος.

ᾨδὴ η΄. Τὸν Βασιλέα.
Σῶσόν με Κόρη, τῆς φρικτῆς μαγγανίας καὶ δεινῆς βασκανίας με ῥῦσαι, νῦν τῆς ἀπειλούσης ζωήν μου τὴν ἀθλίαν.

Χάριτι θείᾳ βοηθείας σου Μῆτερ, παραμύθησαι τὴν θλῖψιν τῆς ψυχῆς μου, ἵνα σε δοξάζω· Ὑπερδεδοξασμένη.

Σὴν προστασίαν, Χρυσαφίτισσα Μῆτερ, νῦν πλουτίσαντες ἐν τῷ παρόντι βίῳ, θερμῶς εὐχαριστοῦμεν· μεγαλύνοντές σε.

Ἴδε εὐσπλάγχνως, Χρυσαφίτισσα Μῆτερ, τοὺς προστρέχοντας εἰκόνι σου τῇ θείᾳ, σπεῦσον, δὸς πᾶσιν τὸ μέγα ἔλεός σου.

ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.
Οὖσα ἡ Προστάτις τῆς οἰκογενείας, Χρυσαφίτισσα Μῆτερ, εὐλόγησον, νέους τοὺς πιστούς σου, ἐν ἀρχῇ, συνεχείᾳ, ἐγγάμου βίου τους.

Ἔκτεινον τὴν χεῖρα πᾶσι τοῖς δεομένοις καὶ ἐκ κινδύνων πιστούς σου διάσῳζε, ὢ Χρυσαφίτισσα Μῆτερ ἡμῶν πανθαύμαστε.

Μητέρα τοῦ Θεοῦ μας, Κυρία τῶν Ἀγγέλων, τῇ χάριτί σου πιστῶς καταφεύγουσιν, πλήθη πιστῶν Ὀρθοδόξων καὶ διασῴζονται.

Ὑμνοῦμέν σου τὴν χάριν, Κεχαριτωμένη, ὢ Χρυσαφίτισσα Μῆτερ Πανάχραντε, ὅτι ἡμᾶς περισκέπεις καὶ σῴζεις πάντοτε.

Ἄξιον ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί

παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβείμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ· τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Καὶ τὰ παρόντα Μεγαλυνάρια,
Τὴν ὑψηλοτέραν τῶν Οὐρανῶν, καὶ καθαρωτέραν λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας, τὴν Δέσποιναν τοῦ κόσμου, ὕμνοις τιμήσωμεν.

Ὦ Θεοῦ Μητέρα καὶ θαυμαστή, Ἄχραντε Παρθένε, σὺ τὸ καύχημα τῶν πιστῶν, πλήρου τὰς αἰτήσεις τῶν προσερχομένων τῇ θείᾳ σου εἰκόνι, ὦ Χρυσαφίτισσα.

Δέξου, ὦ Μητέρα μας εὐμενῶς, πρὸς τοὺς νέους πάντας, τοὺς προστρέχοντας εὐλαβῶς, πρὸς τὴν σὴν εἰκόνα, ἐν πίστει ἀδιστάκτῳ καὶ λύτρωσαι κινδύνων, ὦ Χρυσαφίτισσα.

Τῆς Χρυσαφιτίσσης τῇ θαυμαστῇ καὶ σεπτῇ εἰκόνι καταφύγωμεν εὐλαβῶς, ἵνα φυλαχθῶμεν ἐκ πάσης ἐπηρείας καὶ πάσης ἐνεργείας τοῦ πολεμήτορος.

Χαῖρε τῶν Ἀγγέλων ἡ χαρμονή, χαῖρε τῶν πιστῶν σου ἡ ταχεία καταφυγή, τῶν πασχόντων, χαῖρε, ἡ ἴασις Παρθένε, καὶ τῆς Μονεμβασίας, Μῆτερ, Ὑπέρμαχε.

Δεῦτε Ὀρθοδόξων αἱ στρατιαί, τῇ σεπτῇ εἰκόνι Χρυσαφίτισσας τῆς Μητρός, κλίνοντες τὸ γόνυ μεγαλύνομέν την, ὡς τοῦ Θεοῦ Μητέρα καὶ προστασίαν μας.

Πάσης Λακωνίας ἡ βοηθός, δέξαι μου τοὺς ὕμνους, ὦ Παρθένε Μῆτερ σεμνή, ὦ Χρυσαφίτισσα δέομαί σου, τὴν ἔκβασιν παράσχου παντὸς αἰτήματος.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον
Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (Τρίς).
Δόξα Πατρί, καί Υἱῶ, καί ἁγίῳ Πνεύματι,
καί νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τάς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καί ἴασαι τάς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.
Δόξα Πατρί...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τό ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τό θέλημά σου, ὡς ἐν οὐρανῷ, καί ἐπί τῆς γῆς. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός ἡμῖν σήμερον· καί ἄφες ἡμῖν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καί μή εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλά ῥῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.
Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.
Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῆς ἡμῖν σφόδρα, μηδέ μνησθῆς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.
Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων· Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

καὶ τὸ Ἀπολυτίκιον.Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.
Εἰκόνα Σου ἁγίαν, Χρυσαφίτισσα Ἄχραντε, νῦν πανευλαβῶς προσκυνοῦντες γεραίρομεν Παρθένε, ἐπέστη γὰρ Πρόμαχος ἡμῶν, παρέχουσα θαυμάτων ποταμόν· ἐκ κινδύνων παντοίων ἡμᾶς ἀπαλλάττουσα, εὐχαρίστως βοῶμεν· Δόξα τῷ Σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ Σὲ μεγαλύναντι, δόξα τῷ παρέχοντι ἡμῖν τὴν χάριν διὰ Σοῦ.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ᾽ ἣν ψάλλομεν τὸ ἑξῆς·

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.
Πάντας τοὺς τὴν θείαν καὶ σεπτήν, κατασπαζομένους εἰκόνα σου Χρυσαφίτισσα, ἥνπερ θεωροῦμεν νῦν ἡμῶν προστάτιδα, πειρασμῶν

ἐλευθέρωσον καὶ νόσων παντοίων καὶ πταισμάτων αἴτησαι ἡμῶν τὴν ἄφεσιν, ἵνα μεγαλύνωμεν πάντες τὰ σὰ μεγαλεῖα, Παρθένε, καὶ τὴν πρὸς ἡμᾶς κηδεμονίαν σου.

Δέσποινα, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ· φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλατε, εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ Κύριε, πάντων τῶν Ἁγίων καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν.
Κύριε Ἰησοῦ Χριστέ ὅ Θεός ἡμῶν έλέησον ἡμᾶς.
'Ἀμήν.